ACAD. ALB. REGIM. 1890. II.

MOSCHOPVLI IN BATRACHOMYOMACHIAM COMMENTARII

PARS I

QVA

ORATIONES AD CELEBRANDAM DIEBVS XI M. MARTII XXI ET XXIII M. MAII XXIII M. IVNII MEMORIAM VIRORVM ILLVSTRIVM

CAELESTINI DE KOWALEWSKI

IACOBI FRIDERICI DE RHOD

FRIDERICI DE GROEBEN

ABELI FRIDERICI DE GROEBEN

IOANNIS DITERICI DE TETTAV

IN AVDITORIO MAXIMO DIEBVS XIV ET XXI M. IVNII PVBLICE HABENDAS

INDICIT

ARTHVRVS LVDWICH
P. P. O.

REGIMONTII
EX OFFICINA HARTVNGIANA
1890.

Moschopuli commentarium in Batrachomyomachiam, qui ineditus adhuc latebat, in lucem emittere constitui. Cuius opusculi codex manu scriptus (*'en papier de coton'*) olim, ut patet ex E. Milleri *Catalogue des mss. grecs de la bibl. de l'Escurial* p. 330 n. 41, in bibliotheca Sirletiana*) asservabatur continens *'la Batrachomyomachie d'Homère, avec les scholies de Moschopule; scholies de Tzetzès sur Hésiode; bibliothèque d'Apollodore'.* Baumeisterum in Batrachomyomachia a se Gottingae 1852 edita p. 10 iniuria de scholiis iis suspicionem erroris movisse recte vidit Curtius Wachsmuth et in Mus. Rhen. XX 1865 p. 176 indicato codice Vaticano, qui inter Ottobonianos graecos numero 150 signatus est, optime probavit. Ex hoc libro principium commentarii Moschopulei (usque ad verba *καὶ χορὸς τὸ πλῆθος* infra p. 5, 23 typis expressa) meum in usum benigne transcripsit Rudolphus Vári, totam reliquam partem summa diligentia excussit Ioannes Tschiedel. Insuper is, quem priore loco laudavi, epyllium ipsum cum codice Ottoboniano accurate contulit et varietatem lectionis mecum communicavit. Quam ob liberalitatem utrique viro gratias ago maximas.

De codice illo haec sunt quae ex litteris ab iisdem viris doctis ad me datis comperi. Liber miscellaneus est foliis 174 constans. Continentur

fol. 1^r—46^v *ἔκθεσις κεφαλαίων παραινετικῶν πρὸς τὸν βασιλέα ἰουστι[νι]ανὸν σχεδιασθεῖσα παρὰ ἀγαπητοῦ διακόνου τῆς ἁγιωτ τοῦ θῦ με ἐκκλησίας. ὧν ἡ ἀκρο αὕτη· τῶ θειο καὶ εὐσεβεστάτω βασιλεῖ ἡμῶν ἰουστινιανῶ ἀγαπητὸς ὁ ἐλάχιστος διάκονος.* Incipit *τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα βασιλεῦ τιμᾶς* . . . (cum commentario).

fol. 47^r—94^r *ἱπποκράτους ἀφορισμοί* (folium 94^v vacuum scriptura).

fol. 95^r—109^r *ε τούτη ἔναι ἀρχὴ ἑνὸς καραβείου* (sic).

fol. 110^r—142^v *ὁμήρου βατραχομυομαχία μετ' ἐξηγήσεως ὠφελιμωτάτης τοῦ μοσχοπούλου.*

fol. 143^r—144^v *περὶ τοῦ ὕδατος* (a manu recentissima). Incipit *πρῶτον δεῖξαι χρὴ ὅτι σύνθετον τὸ ὕδωρ* . . .

fol. 145^r *ἰουλιανὸς βασιλείῳ. τὸ ἔμφυτον μοι ἐκ παιδόθεν γαληνὸν καὶ φιλάνον* . . .

fol. 146^v—147^r *βασίλειος ἰουλιανῶ πρὸς ταῦτα. μικρά σοι τὰ τῆς παρούσης τύχης* . . .

*) *'Elle passa ensuite entre les mains du cardinal Ottoboni (Alexandre VIII), qui la laissa à sa famille. Depuis, Benoît XIV, l'accrut des manuscrits de la reine Christine de Suède, et la mit au Vatican'.* Miller l. l. p. 305. Tamen indice codicis Sirletiani cum Ottoboniano 150 collato diversos esse libros crediderim.

fol. 148^r—159^v *ἰωάννου ἀρχιεπισκόπου κωνσταντίνου πόλεως εἰς τὴν γενέθλιον ἡμέραν τοῦ χῦ πρὸ τούτου μὲν ἄδηλον οὖσαν, πρὸ δὲ ὀλίγων ἐτῶν γνωρισθεῖσαν. παρά τινων τῶν ἀπὸ τῆς δύσεως ἐλθόντων καὶ ἀπαγγειλάντων.* Incipit *ἃ πάλαι πατριάρχαι μὲν ὤδινον . . .*

fol. 160^r *ἰωάννου ἀρχιεπισκόπου κωνσταντίνου πόλεως εἰς τὸν ἅγιον στέφανον τὸν πρωτομάρτυρα.* Incipit *πάντες μὲν οἱ τῶν μαρτύρων ἀγῶνες ἐπίδοξοι . . .*

fol. 162^r *πρόκλου ἀρχιεπισκόπου κωνσταντίνου πόλεως εἰς τὸν ἅγ. στέφ. τ. πρ.*

fol. 167^r *τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννου ἀρχ. κωνστ. πόλ. τοῦ χρυσοστόμου λόγος εἰς τ. ἁγίαν πεντηκοστὴν εἰς τ. ἀποστόλους.* Incipit *οὐρανὸς ἡμῖν γέγονεν σήμερον ἡ γῆ . . .*

fol. 173^r (inscriptione caret) *εἰσελθοῦσα ἡ ἁγία ἀγάθη εἰς τὴν φυλακὴν . . .*

fol. 174^r *ἡ ἁγία λουκία κλίνασα τὰ γόνατα . . .*

Batrachomyomachia quae inest cum commentario Moschopuli saeculo XIV vel XV in charta formae quadratae ab una eademque manu exarata et bene habita est. Paginae singulae vicenis versibus impletae. Littera initialis unius cuiusque scholii rubro pigmento exornata itemque titulus supra transcriptus (in quo Wachsmuth *ἐλλογιμωτάτης* pro *ὠφελιμωτάτης* errore dederat). Carminis textum librarius ea ratione discerpsit, ut singulis eius partibus adnotamenta Moschopuli interponeret. Breviationibus, ligaturis, correcturis raro utebatur: sed altera manus, quae a priore magis atramento pallidiore quam forma litterarum differt, nonnullas addidit correcturas.

Quem codicem vel potius eius apographa supra laudata, quibus solis nixus sum, littera *O* significavi, alteram eiusdem fontis manum siglo O^2.

Unum restat quod addam. De formae vulgatae, quam dicimus, origine carminis olim haec iudicaveram (Wissenschaftliche Monatsblätter, herausg. von O. Schade, IV 1876 p. 166): „Höchst wahrscheinlich ist *S* [= Riccardianus 3195 saec. XV] diejenige Handschrift, welche für den Florentiner Druck des Demetrius Chalcondylas 1488 (*m* bei Baumeister) besorgt wurde. Ich sage 'besorgt'; denn dass z. B. die Lesarten, die ich hier zusammenstelle, sonst irgendwo handschriftlich beglaubigt wären, ist mir wenigstens unbekannt, und ich vermuthe, dass sie samt und sonders von irgend einem Humanisten herrühren: 165 *καὶ κόρυθες κοχλιῶν λεπτῶν κράατ' ἀμφεκάλυπτον.* 176 *ἐδέσμασιν ἐκ θυσιάων.* 185 *καὶ πράσσει με τόκους· τούτου χάριν ἐξώργισμαι.* 213 *Τρωγλοδύτην πέτρῳ μυλοειδέϊ τρῶσεν ἐπιφθὰς αὐχένα πὰρ μέσσον· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.* 218 *Κραμβοφάγος ὄχθαισι βαθείαις ἔμπεσε φεύγων.* 223 *Λιμνήσιος δ' ὄχθαισι* (-*ησι m*) *Τυρόγλυφον ἐξενάριξε.* 232 *ποδὸς εἵλκυσε κνισσοδιώκτην* u. s. w. Es sind lauter Stellen, die nur in *Sm* so stehen und aus *m* zum Theil dann auch in *h* [= ed. Lycii] und in andere Ausgaben, z. B. in die Wolfische (Leipz. 1807), übergingen." Sed has lectiones omnes cum Ottoboniano communes habet *S*. Itaque rectius Moschopulum auctorem vulgatae nostrae dixeris.

1 *Ἄρχω σημαίνει δύο· τὸ ἐξουσιάζω καὶ τὸ ἀρχὴν ποιοῦμαι. τὸ ἐξουσιάζω ἀεὶ ἐνεργητικῶς γράφεται, οἷον „ἦρχεν ὁ Ἀγαμέμνων τοῦ πλήθους τῶν Ἑλλήνων“. τὸ δὲ ἀρχὴν ποιοῦμαι ἀεί ποτε παθητικῶς, οἷον „ἄρχομαι τοῦδε τοῦ ἔργου“, ἀντὶ τοῦ ἀρχὴν ποιοῦμαι, κατὰ διάφρασιν· καὶ ἐνταῦθα ὁμοίως.*

Ζεύς, ἤτοι ὁ νοῦς, συγγενόμενος τῇ Μνημοσύνῃ, ἤτοι τῷ μνημονευτικῷ, ἐν τῇ Πιερίᾳ, ἤτοι τῷ ἐγκεφάλῳ, τὰς ἐννέα Μούσας, ἤγουν τὰς ἐννέα γνώσεις, ἀπεκύησεν. εἰσὶ δὲ ἐννέα τὸν ἀριθμόν, ὀνομάζονται δὲ οὕτως· Κλειώ, Θάλεια, Εὐτέρπη, Τερψιχόρη, Ἐρατώ, Μελπομένη, Πολύμνια, Οὐρανία καὶ Καλλιόπη. καὶ αὗται μὲν ἐν τῇ Πιερίᾳ γεννῶνται, ἐν δὲ τῷ Ἑλικῶνι χορεύουσιν, ἅπερ ἱστορικῶς μέν εἰσιν ὄρη τῆς Εὐβοίας, ἤτοι τοῦ Εὐρίπου, ἀλληγορικῶς δὲ Πιερία μέν ἐστι τὸ τοῦ νοὸς οἰκητήριον, ἤτοι ὁ ἐγκέφαλος, ἀφ' οὗ τὰ πῖα καὶ τὰ λιπαρὰ ῥέουσιν.

Ἑλικὼν δὲ κατὰ Τζέτζην αἱ βίβλοι, εἰς ἃς ἑλίσσονται καὶ συστρέφονται καὶ οἱονεὶ χορεύουσιν αἱ Μοῦσαι· ἀνάγραπτον γὰρ αἱ γνώσεις ἡμῶν ταῖς βίβλοις γίνονται. λέγεται δὲ τούτων ἡ μὲν Κλειὼ τὰς ἱστορίας εἰρηκέναι, ἥτις ἐτυμολογεῖται ἀπὸ τοῦ κλείω τὸ δοξάζω· ἡ δὲ Θάλεια τὰ περὶ τὰ φυτὰ πράγματα· ἡ Εὐτέρπη τὰς τέρψεις καὶ τὰς εὐφροσύνας· ἡ Τερψιχόρη τὰς ὀρχήσεις· ἡ Ἐρατὼ τοὺς ἔρωτας· ἡ Μελπομένη τὰς μολπὰς καὶ τὰς ᾠδάς· ἡ Πολύμνια τὴν γεωργίαν, τὴν κατὰ πολὺ ὑμνουμένην καὶ ἐπαινουμένην· ἡ Οὐρανία τὴν ἀστρολογίαν, καὶ ἡ Καλλιόπη τὴν καλὴν ποίησιν, ἣν ὁ σοφώτατος πάντων Ὅμηρος κατ' ἀρχὴν τῆς Ἰλιάδος ἐπικαλεῖται. ἐτυμολογοῦνται δὲ Μοῦσαι κατά τινα φιλόσοφον αἱ ὁμοῦ οὖσαι καὶ ὑπάρχουσαι· δηλοῖ γὰρ τοῦτο τὸ σχετικὸν καὶ ἡνωμένον τούτων.

χορός σημαίνει δύο· χορὸς ὁ τοῦ κύκλου. καὶ ἐτυμολογεῖται ἀπὸ τοῦ τὴν χεῖρα ὀρέγειν καὶ παρέχειν· ἢ παρὰ τὸ χαρά· ἤ, ὃ καὶ κρεῖττον, παρὰ τὸ κόρος — ἡ χορτασία — γίνεται χορός κατὰ τροπὴν τοῦ κ εἰς χ, μεταπεσόντος καὶ τοῦ τόνου· κορεσθέντες γὰρ οἱ ἄνθρωποι ἀνίστανται εἰς τὸ παίζειν καὶ χορεύειν. καὶ χορὸς τὸ πλῆθος.

Ἑλικών ἐστιν ὄρος Εὐβοίας, ἤγουν τοῦ Εὐρίπου. ἐνταῦθα δὲ τῆς βίβλου, ἀλληγορικῶς.

2 *ἦτορ ἡ ψυχή, ἀπὸ τοῦ αἴθω τὸ καίω, κατὰ τοὺς δοξάζοντας αὐτὴν πῦρ εἶναι· διὸ καὶ προσγράφεται τὸ ι. ἢ ἀπὸ τοῦ ἄω τὸ πνέω, κατὰ τοὺς δοξάζοντας αὐτὴν πνεῦμα.*

εὔχομαι σημαίνει τέσσαρα· τὸ κυρίως λέγειν καὶ ἁπλῶς, ὡς καὶ ὁ ποιητὴς οὗτος „εὔχετο ἐξ Ἰθάκης [γένος] ἔμμεναι“ [ω 269]. *τὸ εὔχεσθαι· „εὔχετο δ' Ἀπόλλωνι ἄνακτι“, καὶ ὁ Δαβὶδ „ὅτι πρὸς σὲ προσεύξομαι, κύριε“* [ψαλμ. V 3]. *τὸ καυχᾶσθαι· „ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται“* [Ε 119]· *ἀφ' οὗ καὶ τὸ εὖχος τὸ καύχημα. καὶ τὸ εὔχομαι τὸ ὑπισχνοῦμαι, ὡς καὶ ὁ Δαβὶδ „ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μοι τῷ κυρίῳ“* [ψαλμ. XXI 26?].

3 *δέλτοισι: προσχηματισμὸς λέγεται τὸ πάθος. ἔστι δὲ τῶν Ἀττικῶν.*

γόνυ ἐτυμολογεῖται ἀπὸ τοῦ κονῶ — τὸ ἐνεργῶ — κόνυ καὶ γόνυ· τρέπεται γὰρ τὸ κ εἰς τὸ οἰκεῖον μέσον τὸ γ. ἢ ἀπὸ τοῦ εἰς γῆν νεύειν ἢ ἐν τῷ κάμπτεσθαι γωνίαν ἀποτελεῖν.

---

1 *Ἄρχω*] fol. 110r *O*. Commentario praeter inscriptionem supra laudatam antecedunt Batrachomyomachiae versus quattuor priores. — 4 *ἔνταυθα O*. — 9 *ἅπερ*] fol. 110v *O*. — *μὲν εἰσὶν O*. — *εὐρίππου O*. — 11 *Τζέτζην*] cf. eius scholia in Hesiodi op. p. 15, 7 et 30, 7 Gaisf. — *συστρέψονται O*. — 12 *βλίβλοις* sic *O*. — 18 *φιλόσοφον*] Plut. de frat. amore p. 480f *ἃς ὁμοῦ δι' εὔνοιαν ἀεὶ καὶ φιλαδελφίαν οὔσας οὕτως ὠνόμαζον Μούσας*. — 19 *ἡνώμενον O*. — 20 *σημαίνει*] fol. 111r *O*. — 24 *ἑλικῶν O*. — *εὐρίππου O*. — *ἐνταῦθα δὲ*] fort. addendum *Ἑλικῶνος* — 28 *εὔχετ' O*, qui *γένος* om. — *εὔχετο δ' Ἀπόλλωνι ἄνακτι*] confudit Δ 119 *εὔχετο δ' Ἀπόλλωνι λυκηγενέι κλυτοτόξῳ* cum Α 35 *ἠρᾶθ' ὁ γεραιὸς Ἀπόλλωνι ἄνακτι*. — 29 *ὅς O* — 34 *τοῦ εἰς*] fol. 111v *O*.

4 ἄπειρον ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ πέρας τὸ τέλος, τὸ μὴ ἔχον πέρας ἤγουν τέλος· διὰ τοῦτο γὰρ γράφεται τὸ πει δίφθογγον, κατ' ἐπένθεσιν Ἰωνικὴν τοῦ ι. ἔνι δὲ καὶ τὸ ἀπειρεσίην Ἰωνικόν, κατὰ τροπὴν τοῦ ᾱ εἰς η̄.

πόλεμος λέγεται ἀπὸ τοῦ πολλοὺς ἀμᾶν καὶ θερίζειν. ἢ ἀπὸ τοῦ τὰς πόλεις μειοῦν καὶ ἐλαττοῦν.

ἔργον σημαίνει τρία· τὴν παρασκευὴν τοῦ πολέμου, ὡς καὶ ὁ ποιητὴς οὗτος ἀλλαχοῦ φησιν· „ἔνθα μὲν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο“ [Δ 539]. τὰ γεώργια· „πολλὰ δ' ἀπ' αὐτοῦ ἔργα κατήριπε“ [Ε 92]. καὶ τὸ κυρίως ἔργον· „ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε“ [Ζ 490]· ὡς καὶ ἐνταῦθα.

Ἄρηος: ὁ Ἄρης δέχεται κλίσεις ἑπτά· κλίνεται γὰρ ὁ Ἄρης τοῦ Ἄρου· ὁ Ἄρης τοῦ Ἄρεος καὶ Ἄρους· ὁ Ἄρευς τοῦ Ἄρεος, καὶ Ἄρηος, καὶ Ἄρεως, καὶ Ἄριος Αἰολικῶς. λέγουσι δέ τινες ἀστεϊζόμενοι· διὰ τοῦτο δέχεται ὁ Ἄρης πολλὰς κλίσεις διὰ τὸ καὶ τὸν Ἄρην ἤγουν τὸν πόλεμον πολυόχλητον εἶναι. ἐτυμολογεῖται δὲ ὁ Ἄρης ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ ῥῶ τὸ λέγω· οὐ γὰρ δέεται ὁ Ἄρης ἤγουν ὁ πόλεμος λόγων, ἀλλὰ πράξεως ἢ χρείας. ἢ ἀπὸ τοῦ ᾱ ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥῶ τὸ λέγω· ἐν ᾧ γίνονται πολλαὶ φωναί. ἢ ἀπὸ τοῦ αἱρῶ τὸ φονεύω γίνεται Ἄρης, κατὰ ἀποβολὴν τοῦ ῑ. ζητοῦσι δέ τινες· ὁ Ἄρης [διὰ τί] ὡς τὰ ἰαμβικὰ κλίνεται — ὡς ἔχων τὴν παραλήγουσαν βραχεῖαν παρὰ τῷ ποιητῇ τούτῳ —, οἷον Ἄρητος ὡς λέβητος — ἀφ' οὗ καὶ Ἀρητιάδης ὁ υἱὸς τοῦ Ἄρεος —, καὶ πάλιν ὡς τὰ σπονδειακά, οἷον Ἄρου ὡς Πέρσου, ὡς ἐκεῖνο „Ἄρην καὶ Ἀθηνᾶν“; καὶ πάλιν ἁπλοῦν ὂν διὰ τί ὡς τὰ σύνθετα κλίνεται, οἷον Ἄρεος καὶ Ἄρους, ὡς Δημοσθένεος καὶ Δημοσθένους — ἀφ' οὗ καὶ τὸ „Ἆρες Ἄρες βροτολοιγέ“ [Ε 31] —; φαμὲν οὖν ὅτι τοῦτο συνέβη ἀπὸ διαφόρων ἐτυμολογιῶν· εἰ μὲν γὰρ ἀπὸ τοῦ ᾱ ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥῶ τὸ λέγω ἐτυμολογεῖται, ἔστι τὸ ᾱ ἤγουν ἡ παραλήγουσα μακρά, καὶ κλίνεται Ἄρης Ἄρου, ὡς τὰ σπονδειακά· εἰ δὲ ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ ῥῶ τὸ λέγω — οὐδὲ γὰρ δέεται ὁ πόλεμος λόγων —, ἔστι καὶ τὸ ᾱ βραχύ, καὶ κλίνεται Ἄρης Ἄρητος, ὡς τὰ ἰαμβικά. πάλιν τινὲς λέγουσιν αὐτὸ εἶναι ἁπλοῦν, ὡς ἀπὸ τοῦ αἱρῶ τὸ φονεύω γινόμενον, τινὲς δὲ σύνθετον ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ ῥῶ τὸ λέγω· λοιπὸν ὡς μὲν ἁπλοῦν δέχεται ἐκείνας τὰς κλίσεις, ὡς δὲ σύνθετον κλίνεται Ἄρεος καὶ Ἄρους, ὡς Δημοσθένους. ἔστι δὲ καὶ ἑτέρα εὐθεῖα ὁ Ἄρευς· καὶ κλίνεται τοῦ Ἄρεος, καὶ Ἄριος Αἰολικῶς καὶ Βοιωτικῶς, καὶ Ἄρηος Ἰωνικῶς — ὡς ἐνταῦθα —, καὶ Ἄρεως Ἀττικῶς. σημαίνει δὲ Ἄρης πέντε· τὸν πόλεμον, ὡς τὸ „νῦν ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα“ [Β 381]· τὸν σωματοειδῆ θεόν, ὡς τὸ „Ἆρες Ἄρες βροτολοιγέ“ [Ε 31]· τὸ τραῦμα, „ἔνθα κεῖται Ἄρης ἀλεγεινός“ [Ν 569]· τὸν σίδηρον, „αἵματος ἆσαι Ἄρην“ [Ε 289]· καὶ τὸ κύριον ὄνομα, ὡς τὸ „Ἄρην τόνδε κατ' αὖθι λείπειν“.

---

7 μὲν] κεν Homerus. — ὀνόσσεται O. — ἀπ] ὑπ' Hom. — 8 κατήριπε] κατη cum lacuna O. — σαυτῆς O. — 11 Ἄρεος bis positum suspicionem movet de numero et de iis, quae vocem ἑπτά subsequuntur; fortasse primo loco posuerat genetivos τοῦ Ἄρητος καὶ τοῦ Ἄρου, quorum infra quoque mentionem fecit (vel, quod minus verisimile, τοῦ Ἄρου καὶ τοῦ Ἄρεω). — 12 ἀστιζόμενοι (sed τ incertum) O. — 15 φωναὶ] fol. 112r O. — 16 διὰ τί inserui: cf. lin. 19. — 18 Ἀρητιάδης] hoc cum aliis nonnullis sumpsit ex Eust. 518, 25. — 19 Ἄρην καὶ Ἀθηνᾶν] cf. Ε 908 Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη, παύσασαι βροτολοιγὸν Ἄρην ἀνδροκτασιάων. — 24 οὐδὲ γὰρ etc.] σημείωσαι O im. — 27 σύνθετα O. — 28 εὐθεῖα] fol. 112v O. — 30 νῦν δ' Hom. — 31 ἔνθα κεῖται] ἔνθα μάλιστα γίνετ' Hom. — 32 ἆσαι Ἄρηα Hom. — 33 λιπεῖν? — Sequuntur Batrachomyomachiae versus 5—8.

5 *μερόπεσσι*: τοῦτο μετὰ καταλήξεως πτώσεως εἰς ἑτέρας κατάληξιν πτώσεως, τελούσης τοῦ αὐτοῦ ἀριθμοῦ, οὗ ἦν καὶ ἡ παθοῦσα πτῶσις τὴν τοιαύτην ἐναλλαγήν. ἢ μᾶλλον οὐκ ἔστι μεταπλασμός· μέροψι γὰρ ἦν, καὶ κατὰ διάλυσιν τοῦ ψ εἰς π̅ καὶ σ̅ καὶ ἐπενθέσει τοῦ ε καὶ διπλασιασμῷ Αἰολικῷ τοῦ ἑτέρου σ̅ γέγονε μερόπεσσι. μέροπες δὲ λέγονται οἱ ἄνθρωποι, κατὰ μὲν τὴν τῶν Ἑλλήνων δόξαν ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα καὶ τὴν φωνήν· ἄλλως γὰρ λέγει ὁ Σκύθης καὶ ἄλλως ὁ Πέρσης καὶ ἄλλο ἔθνος ἄλλως. ἢ πρὸς ἀντιδιαστολὴν τοῦ μέροπος ζώου· ἔστι γὰρ ὄρνεον οὕτω καλούμενον μέροψ. ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ἔθνους τῶν Μερόπων· ἔστι γὰρ πόλις ἐν Κῷ καλουμένη οὕτω Μεροπίς· καὶ οἱ τῆς πόλεως ἐκείνης οἰκήτορες καλοῦνται Μέροπες. κατὰ δὲ τὴν τῶν Χριστιανῶν ἀπὸ τοῦ μερισθῆναι τὰς ὄπας καὶ τὰς φωνὰς ἐν τῇ πυργοποιίᾳ τῶν ἀνθρώπων, ὅτε διεμερίσθησαν πᾶσαι αἱ γλῶσσαι τῶν ἀνθρώπων κτιζόντων τὸν τῆς Χαλάνης πύργον.

οὔατα: οὖας λέγεται τὸ ὠτίον. καὶ γίνεται ἀπὸ τοῦ αἴω τὸ φωνῶ ὄνομα ῥηματικὸν αὖος καὶ ἐκβολῇ τοῦ υ̅ ἆος καὶ μεταθέσει ὄας καὶ ἐπενθέσει Ἰωνικῇ τοῦ υ̅ οὖας. κλίνεται δὲ τὸ οὖας τοῦ οὔατος, ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τὰ οὔατα.

6 *μῦς* ἐτυμολογεῖται παρὰ τὸ μύω τὸ ἐπικαλύπτω, ὁ κεκρυμμένος ἀεί ποτε ἐν ταῖς ὀπαῖς. περισπᾶται δέ, ὡς τῷ Θεοδοσίῳ τῷ γραμματικῷ δοκεῖ· τὰ εἰς υ̅ς ὀνόματα μονοσύλλαβα περισπῶνται, μῦς, ὗς, σῦς, δρῦς· σὺν τούτοις καὶ ἰχθῦς δισύλλαβον ὂν περισπᾶται.

βάτραχος ἐτυμολογεῖται παρὰ τὸ βοὴν τραχεῖαν ἔχειν.

ἀριστεύσαντες ἀντὶ τοῦ ἄριστα ἔργα ποιήσαντες, κατὰ διάφρασιν. γράφεται δὲ τὸ ἀριστεύω ῥῆμα ἀπὸ τοῦ ἄριστον· πολλάκις γὰρ καί τινα ῥήματα ἀπὸ ὀνομάτων γίνεται, ὡς καὶ ὀνόματα ἀπὸ ῥημάτων. τὸ δὲ ἄριστον ἐτυμολογεῖται παρὰ τὸ ἀ̅ρ̅ι̅ ἐπιτατικὸν καὶ τὸ ἡστόν τὸ εὐφραντόν· γίνεται οὖν ἀρίηστον καὶ κατὰ συγκοπὴν ἄριστον· διὰ τοῦτο γὰρ ἔχει σ̅τ̅ ὡς ἀπὸ τοῦ ἥδω ἥσω ἧκα ἧσμαι ἧσαι ἧσται καὶ ἐξ αὐτοῦ ἡστόν τὸ εὐφραντόν. ἢ ἀπὸ τοῦ ἀ̅ρ̅ι̅ ἐπιτατικοῦ μορίου τὸ ὑπερθετικὸν ἀρίτατος καὶ κατὰ συγκοπὴν ἄριτος καὶ διὰ καλλιφωνίαν πλεονασμῷ τοῦ σ̅ ἄριστος καὶ τὸ οὐδέτερον τὸ ἄριστον.

7 *γηγενής* ἀπὸ τοῦ γῆ καὶ τοῦ γείνω, ὁ ἐκ γῆς γεννηθείς.

ἀνδρῶν: ἡ εὐθεῖα ὁ ἀνήρ, καὶ κλίνεται τοῦ ἀνέρος, καὶ ἀνδρός κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ δ̅ διὰ καλλιφωνίαν. σημαίνει δὲ ὁ ἀνὴρ ἕξ· πάντα ἄνθρωπον, ὡς τὸ Ζεὺς „πατὴρ ἀνδρῶν τε θεῶν τε“ [Α 544]· τὸν φύσει, ἤγουν τὸν διαστελλόμενον πρὸς τὴν γυναῖκα, ὡς καὶ Ὅμηρος „ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες“ [Η 139]· τὸν ἀνδρεῖον, ὡς τὸ „ὦ φίλοι, ἀνέρες ἐστέ“ [Ε 529], μάχεσθε· τὸν γήμαντα, ὡς τὸ „ἄνδρα μέν, ᾧ ἔδοσάν με πατήρ“ [Τ 291], καὶ ὡς τὸ „ἐπεὶ δὲ ἀνὴρ γέγονεν“, ἤγουν ἐπεὶ γυναικὶ συνεζύγη· τὸν ἔφηβον, ἤγουν τὸν εἰς ἀνδρῶν ἡλικίαν ἐλθόντα, ὡς τὸ „ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ“ [λ 449]· καὶ τὸν τριακονταετῆ. ἐτυμολογεῖται δὲ ἀνὴρ ἀπὸ τοῦ ἄνω, ἀφ' οὗ γίνεται ἀνύω τὸ τελειῶ κατὰ παραγωγήν· ἀνυτικὸς γὰρ ὁ ἀνὴρ καὶ πρακτικώτερος γυναικός. ἤ, ὥς φησιν ὁ Θεσσαλονίκης, ἀπὸ τοῦ ἄνω ἐρᾶν.

---

1 *μετὰ* legendum videtur *μεταπλασμὸς*. — 2 *τὸν αὐτὸν ἀριθμὸν*? — 3 *ἐπενθέσει*] *ἐπεντάσει* O; cf. lin. 13. — 4 *τοῦ ἑτ.*] *καὶ ἑτ.* O. — 5 *ἀπὸ τοῦ*] fol. 113r O. — 8 *Κῷ*] *νῶ* sic O. — 11 *Χαλάνης*] *Χαλδαϊκῆς*? *Χαλδαίας*? — 13 *κλίεται* O. — 16 *ὀπαῖς* non certum O. — *Θεοδοσίῳ*] Herodianum laudat Eust. 1859, 10 coll. 17; cfr. Arcadius personatus p. 104, 23 Schm. — 19 *ἀριστεύσαντες*] fol. 113v O. — *γράφεται*] *γίνεται*? — 26 *τοῦ γείνω*] *τὸ γείνω* O. — 31 *με πατήρ*] fol. 114r O. — 35 *ὡς φησὶν* et im. *σημείωσαι* O. — *ὁ Θεσσαλονίκης*] i. e. Eustathius.